## *Was Sokrates von der öffentlichen Meinung hält*

Als Sokrates nach seiner Verurteilung im Gefängnis auf die Vollstreckung der Todesstrafe wartete, wurde in Athen allgemein damit gerechnet, dass seine Anhänger ihn zu befreien versuchen würden.

ΣΩΚΡΑΤΗΣ Φέρε δή, πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων[1] πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγχάνῃ ἰατρὸς ἢ παιδοτρίβης ὤν;

ΚΡΙΤΩΝ Ἑνὸς μόνου.

ΣΩ. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν.

ΚΡ. Δῆλα δή.

ΣΩ. Ταύτῃ[2] ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον καὶ ἐδεστέον[3] γε καὶ ποτέον[4], ᾗ ἂν τῷ ἑνὶ δοκῇ[5], τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι, μᾶλλον ἢ ᾗ σύμπασι τοῖς ἄλλοις.

ΚΡ. Ἔστι ταῦτα.

[…]

ΣΩ. Οὐκ ἄρα, ὦ βέλτιστε, πάνυ ἡμῖν οὕτω φροντιστέον, τί ἐροῦσιν[6] οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅ τι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, [7]ὁ εἷς καὶ αὐτὴ ἡ ἀλήθεια[7].

ΚΡ. Δῆλα δὴ καὶ ταῦτα, ὦ Σώκρατες· ἀληθῆ λέγεις.

ΣΩ. Ἀλλ', ὦ θαυμάσιε, οὗτός τε ὁ λόγος, ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ [8]ἔτι ὅμοιος εἶναι καὶ πρότερον[8]· καὶ τόνδε δὲ αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν.

ΚΡ. Ἀλλὰ μένει.

ΣΩ. Τὸ δὲ εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταὐτόν ἐστιν, μένει ἢ οὐ μένει;

ΚΡ. Μένει.

ΣΩ. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων Ἀθηναίων ἢ οὐ δίκαιον· καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα, εἰ δὲ μή, ἐῶμεν.

---

1 πράττω hier in prägnanter Bedeutung: *ernsthaft betreiben.*

2 ταύτῃ → ᾗ: *so … wie …*

3 ἐδεστέον] zu ἐσθίω

4 ποτέον] zu πίνω

5 δοκέω in prägnanter Bedeutung: *gut scheinen*

6 ἐροῦσιν] λέγω τί τινα: *etwas über jemanden sagen.*

7 ὁ εἷς … ἀλήθεια] näher bestimmende Apposition zu ὁ ἐπαΐων.

8 ἔτι ὅμοιος εἶναι καὶ πρότερον] „*noch ebenso zu sein wie vorher*“ – gemeint ist: der Satz kann bestehen bleiben, es ist an ihm nichts auszusetzen.